www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias Ch

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Χ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τὰ περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεὺς παρούσης Ἀθηνᾶς, ἐν τοῖς ἑξῆς τὰς θεραπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων, κολάζει ἅμα Μελανθίῳ.

# ΟΔΥΣΣΕΙΑΣ Χ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Χῖ Ὀδυσσεὺς μνηστῆρας ἐκαίνυτο νηλέϊ χαλκῷ.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς.
Ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν ἔχων βιὸν ἠδὲ φαρέτρην
Ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
Αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν.
Οὗτος μὲν δὴ ἄεθλος ἄατος ἐκτετέλεσται.
Νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνήρ,
Εἴσομαι αἴ κε τύχοιμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.
Ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
Ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε
Χρύσεον ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
Ὄφρα πίοι οἴνοιο, φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
Μέμβλετο. τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσι,
Μοῦνον ἐνὶ πλεόνεσσι καὶ εἰ μάλα καρτερὸς εἴη
Οἱ τεύξειν θάνατόν τε κακόν, καὶ κῆρα μέλαιναν,
Τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενον † βάλεν ἰῷ.
† ἐπισχόμενος
Ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή,
Ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς
Βλημένου. αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
Αἵματος ἀνδρομέοιο. θοῶς δ' ἀπὸ οἷο τράπεζαν
Ὦσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε·
Σῖτός τε κρέατ' ὀπτὰ φορύνετο. τοὶ δ' ὁμάδησαν
Μνηστῆρες κατὰ δῶμα, ὅπως ἴδον ἄνδρα πεσόντα.
Ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
Πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους,
Οὐδέ πω ἀσπὶς ἔην οὐδ' ἄλκιμον ἔγχος ἑλέσθαι.
Νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν.
Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι, οὐκέτ' ἀέθλων
Ἄλλων ἀντιάσεις. νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος
Κούρων εἰν Ἰθάκῃ, τῷ σ' ἐνθάδε γῦπες ἔδονται.
Ἴσκεν ἕκαστος ἀνήρ, ἐπεὶ ἦ φάσαν οὐκ ἐθέλοντα,
Ἄνδρα κατακτεῖναι, τὸ δὲ νήπιοι οὐκ ἐνόησαν
Ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
Τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς.

Ὦ κύνες

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Χ. ΤΟΥ

Ὁμήρου ῥαψῳδίαν.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων.] τὴν ῥακώδη ἀπεδύσατο ἐσθῆτα, οὐχ ὅλως ἀλλὰ τὴν περὶ τῶν καὶ ῥακωδῶν τὰ σκέποντα. τὰ ἀναγκαῖα ἔχων. ἐξῆς γ' οὖν ἡ Εὐρύκλεια φησίν. μὴ δ' οὕτω ῥάκεσι πεπυκασμένος εὐρέας ὤμους ἵστασο. ἰθύνετο.] ἐπευθείας ἐτόξευεν. ἄμφωτον.] τὸ ἐξ ἑκατέρων τῶν μερῶν ὦτα ἔχον. ἐπισχόμενος.] ἐπιλαβόμενος. αὐλὸς αἵματος.] τὸ ἐξακόντισμα, ὁ κρουνὸς τοῦ αἵματος. πᾶν γὰρ τὸ στενὸν αὐλὸν ἔλεγον. ὅθεν καὶ τοὺς στενοὺς ποταμοὺς ἐναύλους. ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλεν χρύσεον ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα ὄφρα πίοι οἴνοιο, φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ μέμβλετο, τίς κ' οἴοιτο μετ' ἀνδράσιν.] Διονύσιος ὁ Θρᾷξ ἐν ταῖς μελέταις φησὶν τὴν παροιμίαν, πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. ἀπὸ τούτου διαδεδόσθαι. προστιθέμενος γὰρ Ἀντίνοος τὸ πῶμα, βάλλεται. λέγει δὲ Ἀριστοτέλης περὶ τῆς παροιμίας οὕτως, Ἀγκαῖος ὁ Ποσειδῶνος καὶ Ἀστυπαλαίας Σάμιος ὢν τὸ γένος, ἔχων ἱκέτην ἀπὸ Κρήτης, ἐκέλευσεν αὐτῷ προσφέρειν ποτὸν πίνειν. εἰπόντος δὲ αὐτοῦ ὡς οὐ δυνήσεται πιεῖν, ὅθεν ἐντεῦθεν αἱ ἄμπελοι συγχεύουσιν. αὐτὸς ὁ Ἀγκαῖος καταφρονήσας τοὺς θεράποντας, ἔλαβε τὴν κύλικα καὶ προσέθετο, λέξαντος δὲ ἐκείνου, πολὺ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου, ἄφνω συνέβη χρῆμα συὸς μεγάλου ἐπιβαρῆσαι τοῖς τοῦ Ἀγκαίου χωρίοις. ἀκούσαντα δὲ αὐτόν. ἀπὸ τῶν χειλέων τὴν κύλικα καταθεῖναι καὶ δραμεῖν ὡς ἐπὶ τὸν ἄγριον ὗν. συμβαλόντα δὲ τῷ κάπρῳ τελευτῆσαι. ἔνθα φησὶν κατανοῆσαι τὴν παροιμίαν. τοξάζεαι.] τοξεύων ἐπιτυγχάνεις. νέεσθαι.] ἐλθεῖν, ἐπανήξειν.

κατεκείρετε.] κατεδαπανᾶτε.
ὑπεμνάασθε.] ὑπεφθείρετε, λεληθότως ἐμνηστεύεσθε. περὶ δὲ τῆς ἐπιβουλῆς τῆς Τηλεμάχου οὐκ ὠνείδιζεν, ἴσως ἐπεὶ προβεβουλευμένοι ἠμύνοντο. ἔφη γὰρ πειρήσω ὥς κ' ὕμμι κακὰς ἐπὶ κῆρας ἰάλω. ἰάλω ἀντὶ τοῦ ἐγνοήσατε. ἔσεσθαι.] ἀναγνωστέον ἵν' ᾖ, δείσαντες ἔσεσθαι.
ἐπίηλεν.] συνέστησεν. ἀμφὶς ἄγοντες.] χωρὶς ἕκαστον διδόντες.
ἐεικοσάβοιον.] εἴκοσι βοῶν ἄξιον.
παράκειται.] πρόκειται εἰς αἵρεσιν.
τοξάσεται.] τοξεύσει. φάσγανά τε σπάσασθε.] ξιφοφόρουν γὰρ οἱ παλαιοί. ἀντίσχεσθε.] προβάλεσθε.
ἔχωμεν.] ἐπίωμεν.
περιρρηδὴς.]

Ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἴκαδ' ἱκέσθαι
Δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
Αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα.
Δμωῇσιν δὲ γυναιξὶ παρευνάζεσθαι βιαίως,
Οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
Οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι,
Νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται.
Ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·
Πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν.
Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
Ταῦτα μὲν αἴσιμα εἶπες ὅσα ῥέζεσκον Ἀχαιοί,
Πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
Ἀλλ' ὁ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων
Ἀντίνοος, οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
Οὔτι γάμου τόσον κεχρημένος οὔτε χατίζων,
Ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσε Κρονίων,
Ὄφρ' Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
Αὐτὸς, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας,
Νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται, σὺ δὲ φείδεο λαῶν
Σῶν, ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσάμενοι κατὰ δῆμον
Ὅσά τοι ἐκπέποται, καὶ ἐδήδοται ἐν μεγάροισιν,
Τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
Χαλκόν τε, χρυσόν τ', ἀποδώσομεν εἰσόκε σὸν κῆρ
Ἰανθῇ, πρὶν δ' οὔτι νεμεσητὸν κεχολῶσθαι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσεύς.
Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖτε
Ὅσά τε νῦν ὕμμ' ἐστὶ καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
Οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο,
Πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
Νῦν ὑμῖν παράκειται ἐναντίον ἠὲ μάχεσθαι,
Ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ.
Ἀλλά τιν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.
Ὣς φάτο, τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις.
Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους,
Ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον ἠδὲ φαρέτρην
Οὐδοῦ ἄπο ξεστοῦ τοξάσεται, εἰσόκε πάντας
Ἄμμε κατακτείνῃ, ἀλλὰ μνησόμεθα χάρμης,
Φάσγανά τε σπάσασθε καὶ ἀντίσχεσθε τραπέζας
Ἰῶν ὠκυμόρων, ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
Ἀθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων.
Ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο.
Τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσαιτο.
Ὣς ἄρα φωνήσας, εἰρύσατο φάσγανον ὀξὺ
Χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, ἆλτο δ' ἐπ' αὐτὸν
Σμερδαλέα ἰάχων, ὁ δ' ὁμάρτει δῖος Ὀδυσεὺς,

ἰὸν

Ἰὸν ἀπὸ προϊείς. βάλε δὲ στῆθος παρὰ μαζόν.
Ἐν δέ οἱ ἥπατι πῆξε θοὸν βέλος, ἐκ δ' ἄρα χειρὸς
Φάσγανον ἧκε χαμᾶζε, περιρρηδὴς δὲ τραπέζῃ
Κάππεσε δινηθεὶς, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε,
Καὶ δέπας ἀμφικύπελλον, ὁ δὲ χθόνα τύπτε μετώπῳ
Θυμῷ ἀνιάζων, ποσὶ δὲ θρόνον ἀμφοτέροισι
Λακτίζων ἐτίναξε, κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.
Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
Ἀντίος ἀΐξας, εἴρυτο δὲ φάσγανον ὀξὺ,
Εἴ πως οἱ εἴξειε θυράων, ἀλλ' ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ
Ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε.
Δούπησεν δὲ πεσὼν, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Τηλέμαχος δ' ἀπόρουσε λιπὼν δολιχόσκιον ἔγχος,
Αὐτοῦ ἐν Ἀμφινόμῳ, περὶ γὰρ δίε μή τις Ἀχαιῶν
Ἔγχος ἀνελκόμενον δολιχόσκιον, ἢ ἐλάσειε
Φασγάνῳ ἀΐξας, ἠὲ προπρηνέϊ τύψας.
Βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν.
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.
Ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε.
Καὶ κυνέην πάγχαλκον ἐπὶ κροτάφοις ἀραρυῖαν,
Αὐτός τ' ἀμφιβαλεῦμαι ἰὼν, δώσω δὲ συβώτῃ
Καὶ τῷ βουκόλῳ ἄλλα, τετευχῆσθαι γὰρ ἄμεινον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Οἶσε θέων. εἵως μοι ἀμύνεσθαι πὰρ ὀϊστοί,
Μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα.
Ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
Βῆ δ' ἴμεναι θάλαμον, ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο,
Ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτώ.
Καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας.
Βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν
Αὐτὸς δὲ πρώτιστα περὶ χροῒ δύσετο χαλκόν.
Ὣς δ' αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλά.
Ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
Αὐτὰρ ὅγ' ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοὶ,
Τόφρα, μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ
Βάλλε τιτυσκόμενος, τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
Αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
Τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο,
Ἔκλιν' ἑστάμεναι πρὸς ἐνώπια παμφανόωντα,
Αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον.
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
Ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
Εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.
Ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ.
Ἀκρότατον δὲ παρ' οὐδὸν ἐϋσταθέος μεγάροιο
Ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι.

τῶ

περιρρηδής.] περικλασθεὶς ἢ περιραγείς· ἢ περιστρεφόμενος· ἢ περιρρυεὶς ἢ περιφερής. δινωθείς.] ἐπιστραφείς.

Ὀδυσσῆος ἐείσατο.] ὡς ἐπὶ Ὀδυσσέα ὥρμησεν. φθῆ.] προέλαβεν.

Τηλέμαχος κατόπισθε.] ἐγγὺς τοῦ Ὀδυσσέως γενόμενον τὸν Ἀμφίνομον παραλλάξας κατὰ τοῦ νώτου ἔβαλεν. πιθανῶς δὲ πρώτην ἀριστείαν Τηλεμάχου διέθετο. ἐν ᾗ τὸν πατέρα διέσωσεν.

ἀπόρουσεν.] ἀφώρμησεν. ἐλάσειεν.] πλατεῖ τῷ ξίφει πλήξειεν. προπρηνέϊ.] κατὰ στόμα τῷ ξίφει ὀρθὸς εἰς τοὔμπροσθεν μὴ ἀνατείνας ἀλλὰ νύξας ὑπτίως. οἱ μὲν γὰρ νύττοντες πλατὺ ἔχουσι τὸ ξίφος. οἱ δὲ πλήττοντες πλάγιον.

ἀμφιβαλοῦμαι.] καθοπλίσομαι.

τετευχῆσθαι.] καθωπλῆσθαι.

οἶσε.] κόμισον. ὀρσοθύρη.] ἐν τῷ τοῦ οἴκου ἐναντίῳ τοίχῳ θύρα ἦν, δι' ἧς εἰς τὸν θάλαμον ἀναβῆναι, ἔνθα τὰ ὅπλα ἔκειτο. εἶπεν δὲ οὕτως ἐπεὶ ὑψηλοτέρα ἦν, ἐφ' ἣν ἦν ὀροῦσαι καὶ ἀναθορεῖν. λαύρην.] στενὴν ὁδὸν δι' ἧς οἱ λαοὶ ῥέουσι καὶ φέρονται, οἱονεὶ ἄμφοδον.



εὖ ἀραρυῖαι.]

ἀραρυῖαι.] καλῶς ἡρμοσμέναι. ἐφορμή.] ἔξοδος. ἦν δὲ ἑνὸς μόνου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς εἰσόδου τοίχῳ τοῦ ἀνδρῶνος, ἐν τῇ δεξιᾷ γωνίᾳ ἡ ὀρσοθύρα, ἥτις εἰς τὴν λαύραν ἔφερεν. ἡ δὲ λαύρα στενωπός ἐστι παρακείμενος ἔξωθεν τοῦ ἐν δεξιᾷ τοίχου ἐν ᾧ καὶ ὁ θάλαμος, οὐχ ὁ Πηνελόπης, ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο. αὕτη δὲ ἡ λαύρα ἔξοδον ὡς εἰς τὸν πρόδομον εἶχεν. ἑνὸς δὲ ἦν ἔξοδος ὀρσοθύρα. λαύρα θάλαμος ἀνδρῶν.

οὐδός.] πρόδομος. στόμα.] ἀρχή. ῥῶγας.] ῥήματα, θυρίδας, ἢ τὰς τῆς οἰκίας ὑπερῴας διόδους. ἔξελεν.] ἐξήγαγεν. ἤμβροτον.] αὐτὶ τοῦτο ἔπταισα. ἐγκλίνας.] ἀνοίξας. φράσαι.] κατανόησον. σφῶϊ.] ὑμεῖς οἱ δύο.

σανίδας δ' ἐκδῆσαι.] τὸ ἑξῆς, σφῶϊν ἀποστρέψαντε πόδας καὶ χεῖρας, εἰς θάλαμον ἐμβάλλετε, σειρὴν δὲ πλεκτὴν ἐπ' αὐτοῦ πειρήναντε ἀνὰ κίονα ὑψηλὴν ἐρύσατε, σανίδας δ' ἐκδήσατε, ἢ ὄπισθεν κλείσατε τὰς θύρας μετὰ ταῦτα. σειρήν.] πλέγμα, σχοινίον. πειρήναντε.] ἐκλύσαντες.

ἐρύσαι.]

Τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν
Ἑσταότ' ἄγχ' αὐτῆς, μία δ' οἴη γίνετ' ἐφορμή.
Τοῖς δ' Ἀγέλαος μετέειπεν ἔπος πάντεσσι πιφαύσκων.
Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη,
Καὶ εἴποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο.
Τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσαιτο.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος αἰπόλος αἰγῶν.
Οὔπως ἔστ' Ἀγέλαε διοτρεφές. ἄγχι γὰρ αἰνῶς
Αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης.
Καί χ' εἷς πάντας ἐρύκοι ἀνὴρ, ὅς τ' ἄλκιμος εἴη.
Ἀλλ' ἄγεθ' ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
Ἐκ θαλάμου, ἔνδον γὰρ οἴομαι, οὐδέ πῃ ἄλλῃ,
Τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.
Ὣς εἰπὼν ἀνέβαινε Μελάνθιος αἰπόλος αἰγῶν
Ἐς θαλάμους Ὀδυσῆος ἀνὰ ῥῶγας μεγάροιο.
Ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσα δὲ δοῦρα.
Καὶ τόσας κυνέας χαλκήρεας ἱπποδασείας
Βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὡς περιβαλλομένους ἴδε τεύχεα, χερσὶ δὲ δοῦρα
Μακρὰ τινάσοντας, μέγα δ' αὐτῷ φαίνετο ἔργον.
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα.
Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
Νῶϊν ἐποτρύνει πόλεμον κακὸν ἠὲ Μελανθεύς.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον, οὐδέ τις ἄλλος
Αἴτιος, ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
Κάλλιπον ἐγκλίνας, τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
Ἀλλ' ἴθι δὴ Εὔμαιε θύρην ἐπίθες θαλάμοιο,
Καὶ φράσαι εἴτις ἄρ' ἐστὶ γυναικῶν ἣ τάδε ῥέζει,
Ἢ υἱὸς Δολίοιο Μελανθεὺς, τόν περ ὀΐω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Βῆ δ' αὖτις θάλαμόνδε Μελάνθιος αἰπόλος αἰγῶν,
Οἴσων τεύχεα καλά, νόησε δὲ δῖος ὑφορβός.
Αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα,
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ.
Κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ ὃν ὀϊόμεθ' αὐτοὶ
Ἔρχεται ἐς θάλαμον. σὺ δέ μοι νημερτὲς ἐνίσπες,
Ἤ μιν ἀποκτείνω, αἴκεν κρείσσων γε γένωμαι.
Ἠέ σοι ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
Πολλὰς, ὅσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ἤτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
Σχήσομεν ἔντοσθεν μεγάρων μάλα περ μεμαῶτας.
Σφῶϊ δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν,
Ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐκδῆσαι ὄπισθε.
Σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε

κίον'

Κίον' ἀν' ὑψηλὴν ἐρύσαι πελάσαι τε δοκοῖσιν.
Ὥς κεν δηθὰ ζωὸς ἐὼν, χαλέπ' ἄλγεα πάσχῃ.
Ὣς ἔφαθ'. οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο
Βὰν δ' ἴμεν ἐς θάλαμον λαθέτην δέ μιν ἔνδον ἐόντα
Ἤτοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα, τεύχε' ἐρεύνα.
Τὼ δ' ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
Εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος αἰπόλος αἰγῶν,
Τῇ ἑτέρῃ μὲν χειρὶ, φέρων καλὴν τρυφάλειαν.
Τῇ δ' ἑτέρῃ σάκος εὐρὺ γέρον πεπαλαγμένον ἄζῃ
Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε.
Δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δὲ λέλυντο ἱμάντων.
Τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην ἔρυσάν τέ μιν εἴσω
Κουρὶξ, ἐν δαπέδῳ δὲ χαμαὶ βάλον, ἀχνύμενοι κῆρ.
Σὺν δὲ πόδας χεῖράς τ' ἔδεον θυμαλγέϊ δεσμῷ
Εὖ μάλ' ἀποστρέψαντε διαμπερὲς ὡς ἐκέλευσεν
Υἱὸς Λαέρταο πολύτλας δῖος Ὀδυσσεύς.
Σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
Κίον' ἀν' ὑψηλὴν ἔρυσαν, πέλασάν τε δοκοῖσι.
Τὸν δ' ἐπικερτομέων προσέφης Εὔμαιε συβῶτα.
Νῦν μὲν δὴ μάλα πάγχυ Μελάνθιε νύκτα φυλάξεις
Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος ὥς ἐπέοικεν,
Οὐδέ σέ γ' ἠριγένεια παρ' ὠκεανοῖο ῥοάων
Λήσει ἀνερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
Αἶγας μνηστήρεσσι δόμον κάτα δαῖτα πένεσθαι.
Ὣς ὁ μὲν αὖθι λέλειπτο ταθεὶς, ὀλοῷ ἐνὶ δεσμῷ.
Τὼ δ' ἐς τεύχεα δύντε, θύρην τ' ἐπιθέντε φαεινὴν,
Βήτην δ' εἰς Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
Ἔνθα μένος πνείοντες ἐφέστασαν, οἱ μὲν, ἐπ' οὐδοῦ
Τέσσαρες, οἱ δ' ἔντοσθε δόμων, πολέες τε καὶ ἐσθλοί,
Τοῖσι δ' ἐπαγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
Τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν, καὶ μῦθον ἔειπε.
Μέντορ ἄμυνον ἀρὴν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
Ὅς σ' ἀγαθὰ ῥέζεσκον, ὁμηλικίη δέ μοι ἐσσί.
Ὣς ἔφατ' οἰόμενος λαοσσόον ἔμμεν Ἀθήνην.
Μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι.
Πρῶτος τήν γ' ἐνένιπε Δαμαστορίδης Ἀγέλαος.
Μέντορ, μή σ' ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεὺς
Μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ.
Ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω,
Ὁππότε κεν τούτους κτέωμεν πατέρ', ἠδὲ καὶ υἱόν,
Ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι οἷα μενοινᾷς
Ἔρδειν ἐν μεγάροις. σῷ δ' αὐτοῦ κράατι τίσεις,
Αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
Κτήμαθ' ὁπόσσα τοι ἐστὶ, τά τ' ἔνδοθι καὶ τὰ θύρηφι,
Τοῖσιν Ὀδυσσῆος μεταμίξομεν. οὐδέ τοι υἷας
Ζώειν ἐν μεγάροισιν ἐάσομεν. οὐδὲ θύγατρας,

Οὐδ' ἀλο-

ἐρύσαι.] ἀναρτῆσαι. τρυφάλειαν.] περικεφαλαίαν. τρυφάλεια τίς ὅσα ἡ τρεῖς φάλους ἔχουσα. ἄζῃ.] εὐρῶτι ἢ ξηρασίᾳ. κουρίζων.] νέος ὤν. φορέεσκε.] ἐφόρει, ἐβάσταζεν. κουρίξ.] ὁ μὲν Ἀρίσταρχος τῆς κόμης ἐπιλαβόμενοι. ὁ δὲ Κράτης, κουρὶξ ὁ νεανίσκος. ἔδεον.] ἔδεσμον. φυλάξεις.] παρατηρήσεις. καταλέγμενος.] καθεύδων. ἐπιθέντε.] κλείσαντες. οἰόμενος ἀντὶ τοῦ πεπιστευμένος. παραιπεπίθῃσιν.] πείσῃ. κτέωμεν.] ἀνέλωμεν. κράατι.] τῇ κεφαλῇ. τίσεις.] ἀποδώσεις. ἔνδοθι.] ἐν τῷ οἴκῳ.



αὐτὰρ

ἄντα μνηστήρων ὀλοφύρεαι.] τῶν ἀποδειλιᾷς. ἢ ὑποκρίνῃ, ὑποδεέστερος γίνῃ. ἢ ἐλλείπει ἢ περὶ. ἵν' ᾖ, περὶ μνηστήρων. εὔγματα.] αὐχήσεις. λείπονται.] κατελείφθησαν.

λίγδην.]

Οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατ' ἄστυ πολεύειν.
Ὣς φάτ', Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον.
Νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν.
Οὐκέτι σοί γ' Ὀδυσεῦ μένος ἔμπεδον, οὐδέ τις ἀλκή
Οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ εὐπατερείῃ
Εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί.
Πολλοὺς δ' ἄνδρας ἔπεφνες, ἐν αἰνῇ δηϊοτῆτι,
Σῇ δ' ἤλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
Πῶς δὴ νῦν ὅτε σὸν δῆμον καὶ κτήματ' ἱκάνεις
Ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶν.
Ἀλλ' ἄγε δεῦρο πέπον παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον.
Ὄφρ' εἰδῇς οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσι
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν.
Ἦ ῥα, καὶ οὔπω πάγχυ δίδου ἑτεραλκέα νίκην,
Ἀλλ' ἔτ' ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν
Ἠμὲν Ὀδυσσῆος, ἠδ' υἱοῦ κυδαλίμοιο.
Αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
Ἕζετ' ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.
Μνηστῆρας δ' ὤτρυνε Δαμαστορίδης Ἀγέλαος.
Εὐρύνομός τε, καὶ Ἀμφιμέδων, Δημοπτόλεμός τε,
Πείσανδρός τε Πολυκτορίδης, Πόλυβός τε δαΐφρων.
Οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ' ἄριστοι.
Ὅσσοι ἔτ' ἔζωον, περί τε ψυχέων ἐμάχοντο.
Τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
Τοῖς δ' Ἀγέλεως μετέειπεν ἔπος πάντεσσι πιφαύσκων
Ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους.
Καὶ δή οἱ Μέντωρ μὲν ἔβη κενὰ εὔγματα εἰπών.
Οἱ δ' οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
Τῷ νῦν μὴ ἅμα πάντες ἐφίετε δούρατα μακρά.
Ἀλλ' ἄγεθ' οἱ ἓξ πρῶτον ἀκοντίσατ' αἴ κέ ποθι Ζεὺς
Δώῃ Ὀδυσσῆα βλῆσθαι, καὶ κῦδος ἀρέσθαι.
Τῶν δ' ἄλλων οὐ κῦδος, ἐπὴν οὗτός γε πέσῃσιν.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκόντισαν ὡς ἐκέλευεν
Ἱέμενοι, τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη.
Τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο.
Βεβλήκει ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν.
Ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Αὐτὰρ ἐπεὶ δὴ δούρατ' ἀλεύαντο μνηστήρων.
Τοῖς ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς.
Ὦ φίλοι, ἤδη μὲν κεν ἐγὼν εἴποιμι καὶ ἄμμι
Μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
Ἡμέας ἐξεναρίξαι, ἐπὶ προτέροισι κακοῖσιν.
Ὣς ἔφαθ' οἱ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα,
Ἄντα τιτυσκόμενοι Δημοπτόλεμον μὲν Ὀδυσσεύς.
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης.
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ.
Οἱ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὖδας
Μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε,

Τοὶ

Τοῖς δ' ἄρ' ἐπήϊξαν, νεκύων δ' ἐξ ἔγχε' ἕλοντο.
Αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα
Ἱέμενοι, τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
Τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
Βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν.
Ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε, χαλκοβάρεια.
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον βάλε χεῖρ' ἐπὶ καρπῷ
Λίγδην, ἄκρον δὲ ῥινὸν δηλήσατο χαλκός.
Κτήσιππος δ' Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ,
Ὦμον ἐπέγραψεν, τὸ δ' ὑπέρπτατο, πῖπτε δ' ἔραζε.
Τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην
Μνηστήρων ἐς ὅμιλον ἀκόντιζον ὀξέα δοῦρα.
Ἔνθ' αὖτ' Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης.
Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
Βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα.
Ὦ Πολυθερσείδη φιλοκέρτομε, μήποτε πάμπαν
Εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσι
Μῦθον ἐπιτρέψαι, ἐπειὴ πολὺ φέρτεροί εἰσι.
Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας
Ἀντιθέῳ Ὀδυσῆϊ δόμον κατ' ἀλητεύοντι.
Ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος, αὐτὰρ Ὀδυσσεύς,
Οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ.
Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
Δουρὶ μέσον κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.
Ἤριπε δὲ πρηνής, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Δὴ τότ' Ἀθηναίη φθισίμβροτος αἰγίδ' ἀνέσχεν
Ὑψόθεν ἐξ ὀροφῆς, τῶν δὲ φρένες ἐπτοίηθεν.
Οἱ δ' ἐφέβοντο κατὰ μέγαρον βόες ὣς ἀγελαῖαι,
Τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται.
Οἱ δ' ὥστ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι,
Ἐξ ὀρέων ἐλθόντες ἐπ' ὀρνίθεσσι θορῶσι,
Ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
Οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
Γίνεται οὐδὲ φυγή, χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ.
Ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
Τύπτον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
Κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
Λειώδης δ' Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα.
Γουνοῦμαί σ' Ὀδυσεῦ, σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον,
Οὐ γάρ πω τινά φημι γυναικῶν ἐν μεγάροισιν
Εἰπεῖν, οὐδέ τι ῥέξαι ἀτάσθαλον, ἀλλὰ καὶ ἄλλους
Παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέζοι.
Ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι.
Τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον,
Αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργὼς

Κείσομαι

λίγδην.] ὥστε ἐπιλίξαι, ὅ ἐστιν ἐπιψαῦσαι ἐπιπολαίως μόνον τὴν ἔξωθεν ἐπιφάνειαν τοῦ σώματος. Πολυθερσείδη.] Πολυθέρσου παῖ. φιλοκέρτομε.] ὁ τὸ φίλον σκώπτειν. μέγ' εἰπεῖν.] ἀντὶ τοῦ καυχήσασθαι. ἐπιτρέψαι.] ἐπιτροπὴν ποιῆσαι. ἀλητεύοντι.] μεταιτοῦντι. ἤριπε δὲ πρηνής.] οὗτος ἐπ' αὐτὴν πίπτει τὴν πληγήν.

ἐπτοίηθεν.] ἐν εὐλαβείᾳ καὶ φόβῳ ἐγένοντο. ἀγελαῖαι.] νομαὶ αἱ ἄζευκτοι. οἶστρος.] ὁ λεγόμενος μύωψ. ἔστι δὲ ζῶον ὑπόχαλκον τὴν μορφήν, ὅπερ ἂν εἰσέλθῃ εἰς τὰ ὦτα τῶν βοῶν, οἰστρεῖν ἀναγκάζει τοὺς βόας. καὶ Καλλίμαχος· βόασον ὅντε μύωπα βοῶν καλέουσιν ἀμορβοί. οἱ δ' ἐφέβοντο κατὰ μέγαρα βόες ὣς ἀγελαῖαι, τὰς μέν τε αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν.] ὁ οἶστρος ἀπογεννᾶται ἐκ τῶν ἐν τοῖς ποταμοῖς πλαγίων ζωαρίων τῶν ἐπιπλεόντων τὰ ὕδατα, διὸ καὶ πλεῖστα περὶ αὐτὰ γίνονται. ὁ δὲ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται. καὶ Καλλίμαχος περὶ τοῦ μύωπος· βόασον, ὅν τε μύωπα βοῶν καλέουσιν ἀμορβοί. εἰσὶ δὲ οὗτοι πολέμιοι τοῖς βουσίν. ὅταν γὰρ κατὰ τὴν λαπάρην αὐτοὺς δρύψωσιν, εὐθέως ἀπολιμπάνουσι τὸν νομὸν φοβηθέντες. ἔστι δὲ ὁ μὲν οἶστρος μυίᾳ παραπλήσιος, κέντρον ἔχων σύμμεγεθες ἐκ τοῦ στόματος καὶ φωνὴν μεγάλην βομβώδη. ὁ δὲ μύωψ παρόμοιος τῇ κυνομυίᾳ, τότε κέντρον ἔλαττον ἔχει τοῦ οἴστρου. ἱστορεῖ περὶ τούτων Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων. ἐδόνησεν.] ἐκίνησεν, ἐτάραξεν. κράτων.] αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας τὰ κράτα, ὡς μῆλα, ὥσπερ ὢν μήλων οὕτως κράτων. σημαίνει δὲ τῶν κεφαλῶν. τῷ καὶ ἂν θάνατόν γε δυσηλεγέα προφύγησθα.] εὐλόγως τὸν Λειώδην ἀναιρεῖ. οὔτε γὰρ μάντις ἦν ἀληθής, ἀλλ' ἐσκήπτετο, ἄξιος ἀποθανεῖν, καὶ γὰρ οὗτος εἷς τῶν μνηστήρων. οὔτε προειδὼς τὰ μέλλοντα, ἔμενε μετ' αὐτῶν σπένδαι.]

σπέσθαι.] ἀκολουθῆσαι. ἀπὸ τοῦ ἕπεται τὸ ἀπαρέμφατον ἕπεσθαι. καὶ πλεονασμῷ τοῦ σ. ἕσπεσθαι ὅμως ἅμα σπέσθαι σοὶ αὐτῷ, ἤγουν, ἀκολουθῆσαι. δυσηλεγέα.] δυσκοίμητον. ὅ ῥ'.] ὅπερ δή. Τερπιάδης.] Τέρπιος παῖς. ἢ ὁ τέρπων. κῆαν.] ἔκαυσαν. προσαΐξας.] προσορμήσας. αὐτοδίδακτος.] ἐκ φύσεως δεδιδαγμένος. κηδέσκετο.] ἐφρόντιζεν, ἐπεμελεῖτο. νεόδαρτον.] νεωστὶ ἐκδαρέν.

περιδε-

κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς.
Εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
Πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισι,
Τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
Σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι, καὶ τέκνα τεκέσθαι.
Τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα.
Ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ,
Κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
Κτεινόμενος, τῷ τόν γε κατ' αὐχένα μέσσον ἔλασσε.
Φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
Τερπιάδης δ' ἔτ' ἀοιδὸς ἀλύσκασε κῆρα μέλαιναν
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ,
Ἔστη δ' ἐν χείρεσσιν ἔχων φόρμιγγα λίγειαν,
Ἄγχι παρ' ὀρσοθύρην, δίχα δὲ φρεσὶ μερμήριξεν,
Ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμὸν
Ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ
Λαέρτης Ὀδυσσεύς τε βοῶν ἐπὶ μηρί' ἔκαιον.†
Ἢ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.
Γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
Ἤτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
Μεσσηγὺς κρητῆρος, ἰδὲ θρόνου ἀργυροήλου.
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσαΐξας λάβε γούνων
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα,
Γουνοῦμαί σ' Ὀδυσεῦ, σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον.
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
Πέφνῃς, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
Αὐτοδίδακτος δ' εἰμὶ, θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
Παντοίας ἐνέφυσεν, ἔοικα δέ τοι παραείδειν
Ὥς τε θεῷ, τῷ μή με λιλαίεο δειροτομῆσαι,
Καί κεν Τηλέμαχος τάδε γ' εἴποι σὸς φίλος υἱὸς,
Ὡς ἐγὼ οὔτι ἑκὼν εἰς σὸν δόμον, οὐδὲ χατίζων,
Πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
Ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ.
Ὣς φάτο, τοῦ δ' ἤκουσ' ἱερὴ ἲς Τηλεμάχοιο.
Αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα.
Ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ,
Καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς τέ μευ αἰεὶ
Οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἐόντος.
Εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης,
Ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα.
Ὣς φάτο, τοῦ δ' ἤκουσε Μέδων πεπνυμένα εἰδώς.
Πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
Ἕστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
Αἶψα δ' ἄρ' ἐκ θρόνου ὦρτο, βοὸς δ' ἀπέδυνε βοείην.
Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας λάβε γούνων.

† μηρία κῆαν

καί μιν

Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα.
Ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί, σὺ δ' ἴσχεο, εἰπὲ δὲ πατρὶ
Μήμε περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
Ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον
Κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον.
Τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς
Θάρσει, ἐπειδὴ σ' οὗτος ἐρύσατο καὶ ἐσάωσεν,
Ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
Ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
Ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
Ἐκ φόνου εἰς αὐλήν, σύ τε καὶ πολύφημος ἀοιδός,
Ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι ὅττεό με χρή.
Ὣς φάτο, τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε.
Ἑζέσθην δ' ἄρα τώ γε Διὸς μεγάλου ποτὶ βωμόν,
Πάντοσε παπταίνοντε φόνον ποτιδεγμένω αἰεί.
Πάπτηνεν δ' Ὀδυσεὺς κατ' ἑὸν δόμον, εἴ τις ἔτ' ἀνδρῶν
Ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
Τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
Πεπτηῶτας πολλούς, ὥς τ' ἰχθύας, οὕς θ' ἁλιῆες
Κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
Δικτύῳ ἐξέρυσαν πολυωπῷ, οἱ δέ τε πάντες
Κύμαθ' ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται,
Τῶν μέν τ' ἠέλιος φαέθων ἐξείλετο θυμόν.
Ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
Δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς.
Τηλέμαχ', εἰπ' ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
Ὄφρα ἔπος εἴποι μοι, τό μοι καταθύμιόν ἐστιν.
Ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί.
Κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρύκλειαν.
Δεῦρο δὴ ὄρσο γρηῦ παλαιγενὲς ἥ τε γυναικῶν
Δμῳάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων
Ἔρχεο, κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπῃ.
Ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Ὤϊξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
Βῆ δ' ἴμεν, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
Εὗρεν ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσιν,
Αἵματι καὶ λύθρῳ πεπαλαγμένον, ὥστε λέοντα,
Ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο,
Πᾶν δ' ἄρα οἱ στῆθός τε, παρήϊά τ' ἀμφοτέρωθεν
Αἱματόεντα πέλει, δεινὸς δ' εἰς ὦπα ἰδέσθαι,
Ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
Ἡ δ' ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
Ἴθυσέν ῥ' ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον.
Ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένην περ.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Ἐν θυμῷ γρηῦ χαῖρε καὶ ἴσχεο, μηδ' ὀλόλυζε.
Οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

Τοὺς δὲ

περισθενέων.] ἤτοι περισσῶς ἰσχύων. εἴποισθα.] εἴποις. κακοεργίης.] κακῆς πράξεως. ἕζεσθε.] καθέζεσθε. πολύφημος.] πολλοὺς εὐφημῶν, ἢ πολλοὺς φημίζων. ὅττεο.] ὅπερ ἄν. ὑποκλοπέοιτο.] ὑποκλέπτοιτο. πολυοπῷ.] πολλὰς ῥύπας ἔχοντι τῷ δικτύῳ. κινήσας.] κρούσας. παλαιγενές.] πρεσβύτατε.

ὀλολύξαι.] εὔξασθαι. οὐχ ὁσίη.] οὐ δίκαιον.

ἀναιδέης

ἀναιδείης ἐπέβησαν.] ἐπὶ πολὺ τῆς ἀναιδείας ἐπῆλθον. μήπω τήνδ' ἐπέγειρε.] ἐκώλυσεν γὰρ αὐ κολασθῆναι τὰς δούλας. εἰς ἑ.] πρὸς ἑαυτ. ἄρχετε.] ἄρξασθε. θόλου.] κυκλοτεροῦς οἰκήματος, ἀπὸ τοῦ περιθεῖν. εἰς ὃ τὰ καθ' ἑκάστην ἡμέραν ἐς χρῆσιν πίπτοντα ἀπετίθεντο, οἷον κρατῆρας καὶ ἐκπώματα, καὶ τὰ ὅμοια. θεινέμεναι.] τύπτειν. ἐρείδουσαι.] ἐπιτιθεῖσαι. λίστροισι.] τοῖς ξυστῆρσιν ἀπὸ τοῦ λειαίνειν. εἴλεον.]

Τοὺς δὲ μοῖρ' ἐδάμασε θεῶν καὶ σχέτλια ἔργα.
Οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
Οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοντο.
Τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
Ἀλλ' ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον
Αἵ τέ μ' ἀτιμάζουσι καὶ αἳ νηλητεῖς εἰσι.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια.
Τοιγὰρ ἐγώ τοι τέκνον ἀληθείην καταλέξω.
Πεντήκοντά τοι εἰσὶν ἐνὶ μεγάροισι γυναῖκες
Δμωαί, τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
Εἴριά τε ξαίνειν, καὶ δουλοσύνης ἀνέχεσθαι.
Τάων δώδεκα πᾶσαι, ἀναιδείης ἐπέβησαν.
Οὔτ' ἐμὲ τίουσαι, οὔτ' αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
Σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
Ἀλλ' ἄγ' ἐγὼν ἀναβᾶσ' ὑπερώϊα σιγαλόεντα,
Εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Μή πω τήνδ' ἐπέγειρε, σὺ δ' ἐνθάδε εἰπὲ γυναιξὶν
Ἐλθέμεν, αἵ περ πρόσθεν ἀεικέα μηχανόωντο.
Ὣς ἄρ' ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει,
Ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
Αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
Εἰς ἓ καλεσάμενος, ἔπεα πτερόεντα προσηύδα.
Ἄρχετε νῦν νέκυας φορέειν καὶ ἄνωχθε γυναῖκας.
Αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας,
Ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
Αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,
Δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο
Μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
Θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰσόκε πασέων
Ψυχὰς ἐξαφέλοισθε, καὶ ἐκλελάθοιντ' Ἀφροδίτης,
Τὴν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον μίσγοντό τε λάθρῃ.
Ὣς ἔφαθ', αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
Αἰν' ὀλοφυρόμεναι θαλερὸν κατὰ δάκρυ χέουσαι.
Πρῶτα μὲν οὖν νέκυας φόρεον κατατεθνειῶτας,
Κὰδ δ' ἄρ' ὑπ' αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς
Ἀλλήλοισιν ἐρείδουσαι, σήμαινε δ' Ὀδυσσεὺς
Αὐτὸς ἐπισπέρχων, ταὶ δ' ἐκφόρεον καὶ ἀνάγκῃ.
Αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας,
Ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον,
Αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης,
Λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
Ξῦον, ταὶ δ' ἐφόρεον δμωαί, τίθεσαν δὲ θύραζε.
Αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
Δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
Μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,

Εἴλεον

Εἴλεον ἐν στείνει ὅθεν οὔπως ἦεν ἀλύξαι.
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ' ἀγορεύειν.
Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
Τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαν,
Μητέρι θ' ἡμετέρῃ, παρά τε μνηστῆρσιν ἴαυον.
Ὣς ἄρ' ἔφη, καὶ πεῖσμα νεὸς κυανοπρῴροιο
Κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο
Ὑψόσ' ἐπεντανύσας, μή τις ποσὶν οὖδας ἵκηται.
Ὡς δ' ὅτ' ἂν ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι
Ἕρκει ἐνιπλήξωσι, τό δ' ἑστήκει ἐνὶ θάμνῳ,
Αὖλιν ἐσιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος,
Ὣς αἵγ' ἑξείης κεφαλὰς ἔχον. ἀμφὶ δὲ πάσαις
Δειρῇσιν βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν.
Ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ, οὔτι μάλα δήν.
Ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν.
Τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλέϊ χαλκῷ
Τάμνον, μήδεά τ' ἐξέρυσαν κυσὶν ὠμὰ δάσασθαι,
Χεῖράς τ' ἠδὲ πόδας κόπτον κεκοτηότι θυμῷ.
Οἱ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε πόδας τε,
Εἰς Ὀδυσῆα δόμονδε κίον, τετέλεστο δὲ ἔργον.
Αὐτὰρ ὅγε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν.
Οἶσε θέειον γρηῦ κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
Ὄφρα θεειώσω μέγαρον, σὺ δὲ Πηνελόπειαν
Ἐλθεῖν ἐνθάδ' ἄνωχθι, σὺν ἀμφιπόλοισι γυναιξίν.
Πάσας δ' ὄτρυνον δμῳὰς κατὰ δῶμα νέεσθαι.
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια.
Ναὶ δὴ ταῦτά γε τέκνον ἐμὸν κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ' ἐνείκω.
Μὴ δ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
Ἕσταθ' ἐν μεγάροισι, νεμεσσητὸν δέ κεν εἴη.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσ-(σεύς.
Πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια.
Ἤνεγκεν δ' ἄρα πῦρ καὶ θήιον, αὐτὰρ Ὀδυσσεὺς
Εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
Γρηῢς δ' αὖτ' ἀνέβη διὰ δώματα κάλ' Ὀδυσῆος
Ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι.
Αἱ μὲν ἄρ' ἀμφεχέοντο, καὶ ἠσπάζοντ' Ὀδυσῆα,
Καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε, καὶ ὤμους,
Χεῖράς τ' αἰνύμεναι, τὸν δὲ γλυκὺς ἵμερος ᾕρει,
Κλαυθμοῦ καὶ στοναχῆς, γίνωσκε δ' ἄρα φρεσὶ πάσας.

ΟΔΥΣ-

εἴλεον.] ἀπέκλειον. στείνει.] στενῷ τόπῳ. ἕρκει.] νῦν τῷ δικτύῳ. θάμνῳ.] δασεῖ φυτῷ. αὖλιν.] κοίτην. θέειον.] θεῖον. ἄκος.] ἴαμα. θεειώσω.] καθαρῶ. θήιον.] θεῖον ἄπυρον. διεθείωσεν.] περιήγνισεν. αἰνύμεναι.] ἐπιλαβανόμεναι.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ψ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς τὴν γυναῖκα, καὶ τῶν τῆς πλάνης διηγμάτων ἀνακεφαλαίωσις, καὶ Ὀδυσσέως καὶ Τηλεμάχου μετὰ τῶν οἰκείων ἔξοδος.

ΣΧΟΛΙΑ